# «Ἐκ τῆς" ἀλφα-βηταλφαβήτου" τοῦ ὁσίου Μελετίου τοῦ Γαλησιώτου.

(ποίημα)

Θεὸς ἀγάπη πέφυκε, ἀνθρώποις εἰκονί-
ζει, τὸν πλαστουργήσαντα Θεόν,
εἰ γοῦν Ἀγάπην ἔχει.

Τὸν πόθον τὸν κατὰ Θεόν, ἀλλήλοις χρεω-
στοῦμεν,

δι' ὧν ποιοῦμεν ἀγαθῶν κ' θεαρέστων ἔργων.
Οἶκος Θεοῦ λαμπρότατος, τέμενος ὄντως θεῖον
ἀνὴρ βιῶν κατὰ Θεὸν ὅρους τηρῶν ἀγάπης.
Τεκμήρια τῆς ἀληθοῦς κ' καθαρᾶς ἀγάπης
ἀδικιῶν συγχώρησις, παρόρασις ζημίας,
ὕβρεων καταφρόνησις κ' πάντων τῶν λυπούντων.

Ὁ δόξης μὴ καταφρονῶν, μὴ φέρων ἀτιμίαν
πλοῦτον, πενίαν, ἡδονὴν περιορῶν κ' λύπην,
ἀνίσχυρος φανήσεται κτήσασθαι τὴν ἀγάπην.
Ἀνθρώπους πάντας ἀγαπᾷ, πᾶς ὁ μηδὲν λαμβάνειν
ἀνθρώπινον ἐπιθυμῶν κ' γνῶσιν ἔχων θείαν.

Πᾶς ἀγαπήσας τὸν Θεὸν
ἐξ ὅλης τῆς καρδίας,
κ' τοὺς πλησίον ἀγαπᾷ
τοῖς ἀναλόγοις μέτροις,
ὤ, πῶς ὡραία πέφυκεν ἀγάπη τοῦ πλησίον,
εἰ μὴ συλλήψῃ μέριμνα ταύτην ἀγάπης ἄλλης.
Ἅπας ὁ τὸν Θεὸν ποθῶν ἀπὸ καρδίας
βίον ἰσάγγελον πλουτεῖ, κἂν ἐπὶ γῆς βαδίζῃ
νηστεύων, ψάλλων, ἀγρυπνῶν, σωφρόνως παρθενεύων.

« Κύριος ποιμαίνει με » (Ψαλμ. 22)